οὐκ ἔστιν εἰπεῖν ὅτ' οὐκ ἦν ἀνθρώποις οὐδέ τις εὑρετὴς
λέγεται θεῶν ἢ ἡρώων· σχεδὸν γὰρ γενομένων εὐθὺς
ὑπῆρχε, †τὸ γεγενῆσθαι παρεῖχεν· ἡ δὲ πυρὸς χρῆσις B
ἐχθές φασι καὶ πρῴην ὑπὸ Προμηθέως *** βίος πυρός,
οὐκ ἄνευ δ' ὕδατος ἦν. καὶ τὸ μὲν πλάσμα τοῦτο μὴ
εἶναι ποιητικὸν ἀποδείκνυσιν ὁ καθ' ἡμᾶς βίος· ἔστι γὰρ
ἀνθρώπων γένη τινὰ χωρὶς πυρὸς ποιούμενα τὴν δίαι-
ταν, ἄοικα καὶ ἀνέστια καὶ ὑπαίθρια· καὶ Διογένης δ' ὁ
κύων ἥκιστα προσεχρῆτο πυρί, ὥστε καὶ πολύποδα κα-
ταπιὼν ὠμόν 'οὕτως ὑπὲρ ὑμῶν' εἶπεν 'ὦ ἄνδρες, παρα-
βάλλομαι·' χωρὶς δ' ὕδατος οὔτε καλόν τις ἐνόμισε ζῆν
οὔτε δυνατόν.

3. Καὶ τί μικρολογοῦμαι τὴν τῶν ἀνθρώπων ἐπερχό-
μενος φύσιν; πολλῶν γὰρ ὄντων, μᾶλλον δ' ἀπείρων
γενῶν τὸ τῶν ἀνθρώπων σχεδὸν μόνον οἶδε πυρὸς χρῆ- C
σιν, τὰ δὲ λοιπὰ ἀπύροις χρῆται διαίταις καὶ τροφαῖς,
καὶ βίος αὐτοῖς νεμομένοις, ἱπταμένοις, ἕρπουσιν ἀπὸ
ῥιζῶν καὶ καρπῶν καὶ σαρκῶν ἄνευ πυρός· ὕδατος δὲ
χωρὶς οὐκ ἔναλον οὐ[δὲ] χερσαῖον οὐκ αἰθέριον· καὶ γὰρ
τὰ σαρκοβόρα τῶν ζῴων, ὧν ἔνιά φησι μὴ πίνειν Ἀρι-
στοτέλης, τῷ γ' ἐντὸς ὑγρῷ χρώμενα διαζῇ. τοῦτ' οὖν
χρησιμώτερον, οὗ μηδεμία ζωὴ φύσις ἄνευ ἵσταται καὶ
διαμένει.

4. Μετίωμεν ἀπὸ τῶν χρωμένων ἐπὶ ταῦθ' οἷς χρώ-
μεθα, φυτὰ καὶ καρπούς. τούτων ἃ μὲν οὐδ' ὅλως θερ-
μοῦ μετείληφεν, ἃ δ' ἥκιστα καὶ ἀδήλως· ἡ δ' ὑγρὰ φύσις